κακῶν τῶν βασιλέων Ιουδα καὶ τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν
καὶ τῶν κακῶν τῶν γυναικῶν ὑμῶν, ὧν ἐποίησαν ἐν γῇ Ιουδα
10 καὶ ἔξωθεν Ιερουσαλημ; [10]καὶ οὐκ ἐπαύσαντο ἕως τῆς ἡμέρας ταύ-
της καὶ οὐκ ἀντείχοντο τῶν προσταγμάτων μου, ὧν ἔδωκα κατὰ
11 πρόσωπον τῶν πατέρων αὐτῶν. [11]διὰ τοῦτο οὕτως εἶπεν κύριος
12 Ἰδοὺ ἐγὼ ἐφίστημι τὸ πρόσωπόν μου [12]τοῦ ἀπολέσαι πάντας τοὺς
καταλοίπους τοὺς ἐν Αἰγύπτῳ, καὶ πεσοῦνται· ἐν ῥομφαίᾳ καὶ ἐν
λιμῷ ἐκλείψουσιν ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἔσονται εἰς ὀνει-
13 δισμὸν καὶ εἰς ἀπώλειαν καὶ εἰς κατάραν. [13]καὶ ἐπισκέψομαι ἐπὶ
τοὺς καθημένους ἐν γῇ Αἰγύπτῳ ὡς ἐπεσκεψάμην ἐπὶ Ιερουσαλημ
14 ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, [14]καὶ οὐκ ἔσται σεσῳ-
σμένος οὐθεὶς τῶν ἐπιλοίπων Ιουδα τῶν παροικούντων ἐν γῇ Αἰ-
γύπτῳ τοῦ ἐπιστρέψαι εἰς γῆν Ιουδα, ἐφ᾽ ἣν αὐτοὶ ἐλπίζουσιν
ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπιστρέψαι ἐκεῖ· οὐ μὴ ἐπιστρέψωσιν ἀλλ᾽
15 ἢ ἀνασεσῳσμένοι. — [15]καὶ ἀπεκρίθησαν τῷ Ιερεμια πάντες οἱ
ἄνδρες οἱ γνόντες ὅτι θυμιῶσιν αἱ γυναῖκες αὐτῶν θεοῖς ἑτέροις
καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ λαὸς οἱ κα-
16 θήμενοι ἐν γῇ Αἰγύπτῳ ἐν Παθουρη λέγοντες [16]Ὁ λόγος, ὃν ἐλά-
17 λησας πρὸς ἡμᾶς τῷ ὀνόματι κυρίου, οὐκ ἀκούσομέν σου, [17]ὅτι
ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ
στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν
αὐτῇ σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν καὶ οἱ
βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ιουδα καὶ ἔξωθεν
Ιερουσαλημ καὶ ἐπλήσθημεν ἄρτων καὶ ἐγενόμεθα χρηστοὶ καὶ
18 κακὰ οὐκ εἴδομεν· [18]καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ
τοῦ οὐρανοῦ, ἠλαττώθημεν πάντες καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ
19 ἐξελίπομεν. [19]καὶ ὅτι ἡμεῖς θυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ
καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς, μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποι-
20 ήσαμεν αὐτῇ χαυῶνας καὶ ἐσπείσαμεν σπονδὰς αὐτῇ; — [20]καὶ
εἶπεν Ιερεμιας παντὶ τῷ λαῷ, τοῖς δυνατοῖς καὶ ταῖς γυναιξὶν καὶ
21 παντὶ τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους, λέγων [21]Οὐχὶ τοῦ
θυμιάματος, οὗ ἐθυμιάσατε ἐν ταῖς πόλεσιν Ιουδα καὶ ἔξωθεν Ιε-
ρουσαλημ ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν καὶ οἱ βασιλεῖς ὑμῶν καὶ οἱ

9 γη] πολεσιν A†: ex 17. 21, cf. 6 || 12 απολεσαι] πολεμησαι S†(*-σε) | τους $2^0$ > S† | εκλειψ.] pr. και B | μικρου] + αυτων S†: cf. 49 1 | εως] pr. και A† = 𝔐: cf. 49 1 || 13 γη > A: cf. 1 fin. | αιγυπτου S: cf. 1 | και εν θαν. > BSpau. || 14 επιστρεψωσιν] -ψουσιν SA | ανασεσωσμενοι] σ ult. > B*†; ante hoc uerbum add. omn. excepto S* οι || 15 θεοις ετεροις > BS† | γη > A†: cf. 1 fin. || 16 τω] εν S† = 𝔐 | ακουσομεθα A: cf. 11 3 Thack. § 20, 3 || 17 αρχοντες ημων] αρχ. ιουδα S*† || 18 ηλαττονωθημεν A | παντες] ημεις A = 𝔐, + ημεις *L* || 19 ημεις θυμιωμεν(S εθυμ.)] tr. A | και $2^0$] + ει A† | χαυωνας: cf. 7 18 | σπονδας αυτη] tr. SA = 𝔐 || 21 εθυμιασατε] -σαμεν B*†, -σαν S*Bc(†) | υμων $2^0 \frown 3^0$ S*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/748 UNIVERSITÄT LEIPZIG